# Storia della Lingua Greca – Laurea Magistrale – 5.10.2015

## Introduzione

οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς, ᾧ δῶκε Κρόνου πάϊς ἀγκυλομήτεω
σκῆπτρόν τ᾽ ἠδὲ θέμιστας, ἵνά σφισι βουλεύῃσι.
(*Il.* II 204-206)

νόμος καὶ βουλῇ πείθεσθαι ἑνός […]
εἷς ἐμοὶ μύριοι, ἐὰν ἄριστος ᾖ.
(Heraclit. *VS* 22 B 33, 49)

τί τὴν τυραννίδ᾽, ἀδικίαν εὐδαίμονα,
τιμᾷς ὑπέρφευ καὶ μέγ᾽ ἥγησαι τόδε;
(Eur. *Ph.* 549s.)

### τύραννος, τυραννίς, τυραννίη, τυραννεύω

**Archil. fr. 19 W.$^2$**
“οὔ μοι τὰ Γύγε͜ω τοῦ πολυχρύσου μέλει,
οὐδ᾽ εἷλέ πώ με ζῆλος, οὐδ᾽ ἀγαίομαι
θε͜ῶν ἔργα, **μεγάλης** δ᾽ οὐκ ἐρέ͜ω **τυραννίδος**·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν”.

**Archil. fr. 23,18-21 W.$^2$**
“σὺ δ̣[ὲ
ν]ῦ̣ν εἷλες αἰχμῇ κα̣[ὶ μέγ᾽ ἐ]ξήρ(ω) κ̣[λ]έος.
κείνης ἄνασσε κα̣ὶ̣ **τ̣[υραν]ν̣ίην** ἔχε̣·
π̣[ο]λ̣[λοῖ]σ̣[ί θ]η[ν **ζ]η̣λ̣ωτὸς** ἀ[νθρ]ώ̣πων ἔσε͜α̣ι”.

**Sol. fr. 32 W.$^2$ = 29 Gent.-Pr.**
εἰ δὲ γῆς (φησιν) ἐφεισάμην
πατρίδος, **τυραννίδος** δὲ καὶ **βίης ἀμειλίχου**
οὐ καθηψάμην μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδέ͜ομαι· πλέον γὰρ ὧδε νικήσειν δοκέ͜ω
πάντας ἀνθρώπους.

**Sol. fr. 33 W.$^2$ = 29a Gent.-Pr.**
“οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·
περιβαλὼν δ᾽ ἄγρην ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα
δίκτυον, θυμοῦ θ᾽ ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς·
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν
καὶ **τυραννεύσας** Ἀθηνέ͜ων μοῦνον ἡμέρην μίαν,
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρίφθαι γένος”.

**Sol. fr. 34 W.$^2$ = 29b Gent.-Pr.**
οἱ δ᾽ ἐφ᾽ ἁρπαγῇσιν ἦλθον· ἐλπίδ᾽ εἶχον ἀφνεήν,
κἀδόκ[ε͜]ον ἕκαστος αὐτῶν ὄλβον εὑρήσειν πολύν,
καί με κωτίλλοντα λείως τραχὺν ἐκφανεῖν νόον.
χαῦνα μὲν τότ᾽ ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δήϊον.
οὐ χρεών· ἃ μὲν γὰρ εἶπα, σὺν θεοῖσιν ἤνυσα,
ἄ[λλ]α δ᾽ οὐ μάτην ἔερδον, οὐδέ μοι **τυραννίδος**
ἁ̣ν̣δάν̣ει **βίῃ̣** τι[..].ε[ι]ν, οὐδὲ πιεί[ρ]ης χθονὸς
πατρίδος κακοῖσιν ἐσθλοὺς ἰσομοιρίην ἔχειν.

**Sem. fr. 7,57-70 W.$^2$**
τὴν δ᾽ ἵππος ἁβρὴ χαιτέεσσ᾽ ἐγείνατο,
ἣ δούλι᾽ ἔργα καὶ δύην περιτρέπει,
κοὔτ᾽ ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι,
οὔτε πρὸς ἰπνὸν ἀσβόλην ἀλε͜ομένη
ἵζοιτ᾽. ἀνάγκῃ δ᾽ ἄνδρα ποιεῖται φίλον·
λοῦται δὲ πάσης ἡμέρης ἄπο ῥύπον
δίς, ἄλλοτε τρίς, καὶ μύροις ἀλείφεται,

αἰεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν ὦν θέημα τοιαύτη γυνὴ
ἄλλοισι, τῷ δ’ ἔχοντι γίνεται κακόν,
ἢν μή τις ἢ **τύραννος** ἢ **σκηπτοῦχος** ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.

**Alc. fr. 348 V.**
τὸν κακοπατρίδα<ν>
Φίττακον πόλιος τὰς ἀχόλω καὶ βαρυδαίμονος
**ἐστάσαντο τύραννον**, μέγ’ ἐπαίνεντες ἀόλλεες.

**Theogn. 823s., 1179-1182, 1203-1206**
μήτε τιν’ αὖξε **τύραννον** ἐπ’ ἐλπίσι, κέρδεσιν εἴκων,
μήτε κτεῖνε θε̣ῶν ὅρκια συνθέμενος.
[…]
Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα
εἴργει μήθ’ ἔρδειν μήτε λέγειν ἀσεβῆ.
**δημοφάγον** δὲ **τύραννον** ὅπως ἐθέλεις κατακλῖναι
οὐ νέμεσις πρὸς θεῶν γίνεται οὐδεμία.
[…]
οὐκ εἶμ’, οὐδ’ ὑπ’ ἐμοῦ κεκλήσεται. οὐδ’ ἐπὶ τύμβῳ
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι **τύραννος ἀνήρ**.
οὐδ’ ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος οὔτ’ ἀνιῷτο
οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυ.

**Simon. *PMG* 584 = fr. 298 Poltera**
τίς γὰρ ἁδονᾶς ἄτερ θνα-
τῶν βίος ποθεινὸς ἢ **ποί-
α τυραννίς;**
τᾶσδ’ ἄτερ οὐδὲ θεῶν **ζηλωτὸς αἰών**.

**μόναρχος, μοναρχία, μοναρχέω**

**Sol. fr. 9 W.[2]**
ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ’ ἐκ λαμπρῆς γίγνεται ἀστεροπῆς·
ἀνδρῶν δ’ ἐκ μεγάλων πόλις ὄλλυται, ἐς δὲ **μονάρχου**
δῆμος ἀϊδρίῃ **δουλοσύνην ἔπεσεν**.
λίην δ’ ἐξάραντ’ <οὐ> ῥᾴδιόν ἐστι κατασχεῖν
ὕστερον, ἀλλ’ ἤδη χρὴ <καλὰ> πάντα νοεῖν.

**Alc. fr. 6,25-28 V.**
μ[η]δ’ ἄμμ[ι] λω[
γε̣[.]ος μενέ[
**μοναρχίαν** δ.[
μ]ηδὲ δεκωμ̣[

**Pind. *P.* 4,151-155, 165s.**
“κοῦ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ’ ἄγαν·
ἀλλὰ καὶ **σκᾶπτον μόναρχον**
καὶ **θρόνος**, ᾧ ποτε Κρηθεΐδας
ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας –
τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας
λῦσον, ἄμμιν μή τι νεώτερον ἐξ αὐ-
τῶν ἀναστάῃ κακόν” […]
“τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι **μοναρχεῖν
καὶ βασιλευέμεν** ὄμνυμι προήσειν”.

**Aesch. *Th.* 881-884**
— ἰὼ ἰὼ δωμάτων
ἐρειψίτοιχοι καὶ πικρὰς **μοναρχίας** [ἀντ. α]
ἰδόντες, ἤδη διήλ-
λαχθε σὺν σιδάρῳ.